8 ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς,
πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσα·
9 οὐχ οἱ πολυχρόνιοί εἰσιν σοφοί,
οὐδ᾽ οἱ γέροντες οἴδασιν κρίμα.
10 διὸ εἶπα Ἀκούσατέ μου,
καὶ ἀναγγελῶ ὑμῖν ἃ οἶδα·
11 ἐνωτίζεσθέ μου τὰ ῥήματα· ἐρῶ γὰρ ὑμῶν ἀκουόντων,
※ἄχρι οὗ ἐτάσητε λόγους.
12 ※καὶ μέχρι ὑμῶν συνήσω,
※καὶ ἰδοὺ οὐκ ἦν τῷ Ιωβ ἐλέγχων,
※ἀνταποκρινόμενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν,✓
13 ἵνα μὴ εἴπητε Εὕρομεν σοφίαν κυρίῳ προσθέμενοι·
14 ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα. —
15 ※ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι,
※ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους.
16 ※ὑπέμεινα, οὐ γὰρ ἐλάλησαν·
※ὅτι ἔστησαν, οὐκ ἀπεκρίθησαν.✓
17 Ὑπολαβὼν δὲ Ελιους λέγει
18 Πάλιν λαλήσω· πλήρης γάρ εἰμι ῥημάτων,
ὀλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός·
19 ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος
ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐρρηγώς.
20 λαλήσω, ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χείλη·
21 ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ,
ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ·
22 οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον·
εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται.
33 1 οὐ μὴν δὲ ἀλλὰ ἄκουσον, Ιωβ, τὰ ῥήματά μου
καὶ λαλιὰν ἐνωτίζου μου·
2 ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου,
καὶ ἐλάλησεν ἡ γλῶσσά μου.

8[1]] pr. και ουχ ουτως AV†: cf. 𝔐 | 8[2] εσται A† | fin.] + με AV†, + σε S*†; + αυτους pau. (in *O* sub ※) || 9[1] ουχ] ου γαρ AV† || 11[1] μου/τα ρημ.] tr. AV† | ερω γαρ > BS*† | post 11[1] add. AV† ιδου (+ γαρ V) ηκουσα τους λογους υμων ενωτισαμην μεχρι συνεσεως υμων (+ και εως υμων συνησω V): cf. 𝔐 11[1.2] | 11[2] λογους] τους λ. υμων AV† || 12[1] μεχρι] εως AV† | 12[2] ελεγχων] pr. ο A† | 12[3] > S*† | ρημασιν AV† || 13 ινα] + δε AV† | κυρ. προσθ.] tr. AV† || 15[1] ουκ] pr. και S*† || 16[1] ου] ουδε S*† | ελαλησαν La†] ν > rel. | 16[2]] + οτι αποκριθω καγω μερος mu.: = 𝔐 17[1] || 18[2] γαρ] δε AV† || 19[1] η δε] και η AV†: cf. 3 12 | ζεων] γεμων AV† | 19[2] ερρηγως] > S*†, δεδεμενος και κατερρηγως AV† || 20 fin.] + μου AV†; + αποκριθω S[c] pau. (in *O* sub ※) || 22[1] προσωπα B†: cf. 22 8

33 1[2] λαλ. ενωτ. μου] την λαλ. μου ενωτ. AV†, pr. την S[c]†